# ΞΕΝΟΦΩΝΤΟΣ
## ΕΛΛΗΝΙΚΑ

# XENOPHONTIS
## HISTORIA GRAECA

RECENSVIT

CAROLVS HVDE

EDITIO STEREOTYPA EDITIONIS
ANNI MCMXXXIV

STVTGARDIAE IN AEDIBVS B.G.TEVBNERI MCMLXIX

UNIVERSITÀ DEGLI STUDI DI ROMA
FACOLTÀ DI MAGISTERO
ISTITUTO DI LINGUA E LETT. LATINA

# CONSPECTUS SIGLORUM

**B** cod. Parisinus 1738; B[c] = B correctus
**D** cod. Parisinus 1642
**H** cod. Britannicus 5110
**M** cod. Ambrosianus (Mediol.) A 4 inf.
**V** cod. Marcianus (Venet.) 368.
**P** cod. Palatinus (Vat.) 140

**C** cod. Parisinus 2080
**F** cod. Perizonianus (Lugd. Bat.) 6
**U** cod. Urbinas 117

**L** cod. Coislinianus (Paris.) 317
**N** cod. Neapolitanus XXII 1

**E** cod. Parisinus 1739
**A** cod. Parisinus 1793

**W** pap. Vindobonensis
**O** papyri Oxyrhynchiae 28, 226

[ ] scriptura vel deficiens vel incerta
( ) scriptura quam codici inesse veri simile est
\+ littera erasa
/ spatium litterae

# ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΩΝ Α

*Μετὰ δὲ ταῦτα οὐ πολλαῖς ἡμέραις ὕστερον ἦλθεν* I
*ἐξ Ἀθηνῶν Θυμοχάρης ἔχων ναῦς ὀλίγας· καὶ εὐθὺς*
*ἐναυμάχησαν αὖθις Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, ἐνί-*
*κησαν δὲ Λακεδαιμόνιοι ἡγουμένου Ἀγησανδρίδου. μετ'* 2
*ὀλίγον δὲ τούτων Δωριεὺς ὁ Διαγόρου ἐκ Ῥόδου εἰς*
*Ἑλλήσποντον εἰσέπλει ἀρχομένου χειμῶνος τέτταρσι καὶ*
*δέκα ναυσὶν ἅμα ἡμέρᾳ. κατιδὼν δὲ ὁ τῶν Ἀθηναίων*
*ἡμεροσκόπος ἐσήμανε τοῖς στρατηγοῖς. οἱ δὲ ἀνηγάγοντο*
*ἐπ' αὐτὸν εἴκοσι ναυσίν, ἃς ὁ Δωριεὺς φυγὼν πρὸς τὴν*
*γῆν ἀνεβίβαζε τὰς αὑτοῦ τριήρεις, ὡς ἤνοιγε, περὶ τὸ*
*Ῥοίτειον. ἐγγὺς δὲ γενομένων τῶν Ἀθηναίων ἐμάχοντο ἀπό* 3
*τε τῶν νεῶν καὶ τῆς γῆς, μέχρι οἱ Ἀθηναῖοι ἀπέπλευσαν*
*εἰς Μάδυτον πρὸς τὸ ἄλλο στρατόπεδον οὐδὲν πράξαντες.*
*Μίνδαρος δὲ κατιδὼν τὴν μάχην ἐν Ἰλίῳ θύων τῇ Ἀθηνᾷ,* 4
*ἐβοήθει ἐπὶ τὴν θάλατταν, καὶ καθελκύσας τὰς ἑαυτοῦ*
*τριήρεις ἀπέπλει, ὅπως ἀναλάβοι τὰς μετὰ Δωριέως. οἱ* 5
*δὲ Ἀθηναῖοι ἀνταναγαγόμενοι ἐναυμάχησαν περὶ Ἄβυδον*
*κατὰ τὴν ἠόνα μέχρι δείλης ἐξ ἑωθινοῦ. καὶ τὰ μὲν*
*νικώντων, τὰ δὲ νικωμένων, Ἀλκιβιάδης ἐπεισπλεῖ*
*δυοῖν δεούσαις εἴκοσι ναυσίν. ἐντεῦθεν δὲ φυγὴ τῶν Πελο-* 6

---

1 titulos librorum ex **B** posui, cf. I 5, 8 **W** 2 *Δημοχάρης* **D** *ναῦς ἔχων* **CU** *οὐκ ὀλίγας* **U** 5 *Ἡγησ.* codd. 6 *τούτων* del. Kondos 9 *ἐσήμηνε* Ddf. *ἀνήγοντο* **CD**[1]**U** 11 *αὐτοῦ* plerique *τριήρεις* om. **D** *ἤνηγε* **U** *ἤνυε* marg. **C** *γρ.* **U**[1] *ἤνυτε* Kondos 13 *μέχρι* **BP** *μέχρις* rell. [**F**] 17 *ἀναλάβοι* **B** *ἀναλάβῃ(ι)* rell. 18 *ἀνταναγόμενοι* codd., corr. Hert. 19 *ἠιόνα* codd. *ἐξ ἑωθινοῦ* del. Brue. 21 *δεούσαις* **M** *δέουσαι* **F**[1] *δεούσαιν* rell.

τὰς πρὸς θαλάττῃ πόλεις γενόμενα διηγήσομαι, καὶ τῶν
πράξεων τὰς μὲν ἀξιομνημονεύτους γράψω, τὰς δὲ μὴ
ἀξίας λόγου παρήσω. πρῶτον μὲν τοίνυν Φαρνάβαζος καὶ
Κόνων, ἐπεὶ ἐνίκησαν τοὺς Λακεδαιμονίους τῇ ναυμαχίᾳ,
περιπλέοντες καὶ τὰς νήσους καὶ πρὸς τὰς ἐπιθαλαττιδίας
πόλεις τούς τε Λακωνικοὺς ἁρμοστὰς ἐξήλαυνον καὶ παρε-
μυθοῦντο τὰς πόλεις ὡς οὔτε ἀκροπόλεις ἐντειχίσοιεν
2 ἐάσοιέν τε αὐτονόμους. οἱ δ᾽ ἀκούοντες ταῦτα ἥδοντό τε
καὶ ἐπῄνουν καὶ ξένια προθύμως ἔπεμπον τῷ Φαρνα-
βάζῳ. καὶ γὰρ ὁ Κόνων τὸν Φαρνάβαζον ἐδίδασκεν ὡς
οὕτω μὲν ποιοῦντι πᾶσαι αὐτῷ αἱ πόλεις φίλιαι ἔσοιντο,
εἰ δὲ δουλοῦσθαι βουλόμενος φανερὸς ἔσοιτο, ἔλεγεν ὡς
μία ἑκάστη πολλὰ πράγματα ἱκανὴ εἴη παρέχειν καὶ
κίνδυνος εἴη μὴ καὶ οἱ Ἕλληνες, εἰ ταῦτα αἴσθοιντο, συ-
3 σταῖεν. ταῦτα μὲν οὖν ἐπείθετο ὁ Φαρνάβαζος. ἀποβὰς
δ᾽ εἰς Ἔφεσον τῷ μὲν Κόνωνι δοὺς τετταράκοντα τριήρεις
εἰς Σηστὸν εἶπεν ἀπαντᾶν, αὐτὸς δὲ πεζῇ παρῄει ἐπὶ τὴν
αὐτοῦ ἀρχήν. καὶ γὰρ ὁ Δερκυλίδας, ὅσπερ καὶ πάλαι
πολέμιος ἦν αὐτῷ, ἔτυχεν ἐν Ἀβύδῳ ὤν, ὅτε ἡ ναυμαχία
ἐγένετο, καὶ οὐχ ὥσπερ οἱ ἄλλοι ἁρμοσταὶ ἐξέλιπεν, ἀλλὰ
κατέσχε τὴν Ἄβυδον καὶ διέσῳζε φίλην τοῖς Λακεδαι-
μονίοις. καὶ γὰρ συγκαλέσας τοὺς Ἀβυδηνοὺς ἔλεξε τοιάδε.
4 Ὦ ἄνδρες, νῦν ἔξεστιν ὑμῖν καὶ πρόσθεν φίλοις οὖσι τῇ
πόλει ἡμῶν εὐεργέτας φανῆναι τῶν Λακεδαιμονίων. καὶ
γὰρ τὸ μὲν ἐν ταῖς εὐπραξίαις πιστοὺς φαίνεσθαι οὐδὲν
θαυμαστόν· ὅταν δέ τινες ἐν συμφοραῖς γενομένων φίλων

1 τῶν πράξεων om. CU 3 ἀξίους BP[1] 5 πρὸς om. V[1]
7 ἐντειχίσοιεν B ἐντιχείσοιεν F[1] -σαιεν CDMPUV -ιοῖεν Ddf.
8 ἐάσοιέν B -σαιέν rell. 11 ἔσονται CUV 12 δουλῶ-
σθαι CF[1]U ἔλεγεν ὡς del. Cob. ὡς μία ἑλ. V 13 εἴη
ἱκανὴ CU 14 εἰ (εἰς B) om. CF[1]U αἴσθηντο CU 17 πεζὸς D
18 αὐτοῦ B alii ὥσπερ CF[1]U[1] καὶ om. CU πάλαι
post ἦν CU 22 γὰρ] γὰρ πρόσθεν C 23 πρόσθε BP



βέβαιοι φανῶσι, τοῦτ᾽ εἰς τὸν ἅπαντα χρόνον μνημο-
νεύεται. ἔστι δὲ οὐχ οὕτως ἔχον ⟨ὡς⟩, εἰ τῇ ναυμαχίᾳ
ἐκρατήθημεν, οὐδὲν ἄρα ἔτι ἐσμέν· ἀλλὰ καὶ τὸ πρόσθεν
δήπου, Ἀθηναίων ἀρχόντων τῆς θαλάττης, ἱκανὴ ἦν ἡ
ἡμετέρα πόλις καὶ εὖ φίλους καὶ κακῶς ἐχθροὺς ποιεῖν.
ὅσῳ δὲ μᾶλλον αἱ ἄλλαι πόλεις σὺν τῇ τύχῃ ἀπεστρά-
φησαν ἡμῶν, τοσούτῳ [ὄντως] ἡ ὑμετέρα πιστότης μεί-
ζων φανείη ἄν. εἰ δέ τις τοῦτο φοβεῖται, μὴ καὶ κατὰ γῆν
καὶ κατὰ θάλατταν ἐνθάδε πολιορκώμεθα, ἐννοείτω ὅτι
Ἑλληνικὸν μὲν οὔπω ναυτικόν ἐστιν ἐν τῇ θαλάττῃ, οἱ
δὲ βάρβαροι εἰ ἐπιχειρήσουσι τῆς θαλάττης ἄρχειν, οὐκ
ἀνέξεται ταῦτα ἡ Ἑλλάς· ὥσθ᾽ ἑαυτῇ ἐπικουροῦσα καὶ ὑμῖν
σύμμαχος γενήσεται. οἱ μὲν δὴ ταῦτα ἀκούοντες οὐκ ἀκόν- 5
τως ἀλλὰ προθύμως ἐπείσθησαν· καὶ τοὺς μὲν ἰόντας
ἁρμοστὰς φίλως ἐδέχοντο, τοὺς δὲ ἀπόντας μετεπέμποντο.
ὁ δὲ Δερκυλίδας, ὡς συνελέγησαν πολλοὶ καὶ χρήσιμοι
ἄνδρες εἰς τὴν πόλιν, διαβὰς καὶ εἰς Σηστόν, καταντικρὺ
ὄντα Ἀβύδου καὶ ἀπέχοντα οὐ πλέον ὀκτὼ σταδίων, ὅσοι
τε διὰ Λακεδαιμονίους γῆν ἔσχον ἐν Χερρονήσῳ, ἤθροιζε,
καὶ ὅσοι αὖ ἐκ τῶν ἐν τῇ Εὐρώπῃ πόλεων ἁρμοσταὶ ἐξέπι-
πτον, καὶ τούτους ἐδέχετο, λέγων ὅτι οὐδ᾽ ἐκείνους ἀθυ-
μεῖν δεῖ, ἐννοουμένους ὅτι καὶ ἐν τῇ Ἀσίᾳ, ἡ ἐξ ἀρχῆς βα-
σιλέως ἐστί, καὶ Τῆμνος, οὐ μεγάλη πόλις, καὶ Αἰγαιεῖς
καὶ ἄλλα γε χωρία δύνανται οἰκεῖν οὐχ ὑπήκοοι ὄντες βασι-

2 ἔστι . . . ἔχον] νῦν δέ, Dobree ὡς add. Weiske ὅτι V
3 ἔτι] τι CFU 6 δὲ om. M 7 τοσούτῳ CU τοσοῦτον rell.
ὄντως del. Ddf. ἡμετέρα CFM 8 τις—φοβεῖται Ddf.
τισι—φανεῖται codd. καὶ om. CFU 9 κατὰ om. F 11 ἐπι-
χειρούσιν U ἄρχειν τῆς θαλ. CU 12 καὶ ἐπικουροῦσα (-κυρ- U)
καὶ B ἡμῖν U 14 παρόντας Dobree 18 πλεῖστον U πλείω V
πλεῖον rell. 19 ἐν Χερρ. om. D ἤθροιζον U 23 Αἰγαιεῖς
DFM Αἰγεεῖς BCPUV 24 γε] δὲ Simon ὑπήκοα ὄντα
nescio qui libri

λέως. καίτοι, ἔφη, ποῖον μὲν ⟨ἂν⟩ ἰσχυρότερον Σηστοῦ λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ νεῶν καὶ πεζῶν δεῖται, εἰ μέλλει πολιορκηθήσεσθαι. τού-
6 τους αὖ τοιαῦτα λέγων ἔσχε τοῦ ἐκπεπλῆχθαι. ὁ δὲ Φαρνάβαζος ἐπεὶ ηὗρε τήν τε Ἄβυδον καὶ τὸν Σηστὸν οὕτως ἔχοντα, προηγόρευεν αὐτοῖς ὡς εἰ μὴ ἐκπέμψοιεν τοὺς Λακεδαιμονίους, πόλεμον ἐξοίσει πρὸς αὐτούς. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, Κόνωνι μὲν προσέταξε κωλύειν αὐτοὺς τὴν θάλατταν πλεῖν, αὐτὸς δὲ ἐδῄου τὴν τῶν Ἀβυδηνῶν χώραν. ἐπεὶ δὲ οὐδὲν ἐπέραινε πρὸς τὸ καταστρέφεσθαι, αὐτὸς μὲν ἐπ' οἴκου ἀπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπίζεσθαι τὰς καθ' Ἑλλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ ὅτι πλεῖστον ναυτικὸν ἀθροισθείη. ὀργιζόμενος γὰρ τοῖς Λακεδαιμονίοις ἀνθ' ὧν ἐπεπόνθει περὶ παντὸς ἐποιεῖτο ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν καὶ τιμωρήσασθαι ὅ τι
7 δύναιτο. καὶ τὸν μὲν χειμῶνα ἐν τοιούτοις ὄντες διῆγον· ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας καὶ ξενικὸν προσμισθωσάμενος ἔπλευσεν ὁ Φαρνάβαζός τε καὶ ὁ Κόνων μετ' αὐτοῦ διὰ νήσων εἰς Μῆλον, ἐκεῖθεν δὲ ὁρμώμενοι εἰς τὴν Λακεδαίμονα. καταπλεύσας δὲ πρῶτον μὲν εἰς Φερὰς ἐδῄωσε ταύτην τὴν χώραν, ἔπειτα καὶ ἄλλοσε ἀποβαίνων τῆς παραθαλαττίας ἐκακούργει ὅ τι ἐδύνατο. φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας καὶ τὰ τῆς βοηθείας καὶ τὴν σπανοσιτίαν, ταχύ τε ἀνέστρεψε καὶ
8 ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα. ἐπεὶ δὲ οἱ ἔχοντες τὴν πόλιν τῶν Κυθηρίων φοβηθέντες μὴ κατὰ κράτος ἁλοῖεν ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑπο-

1 ἂν add. Schae. 3 μέλλει V μέλλοι rell. 4 οὖν D τοῦ μὴ C 5 τήν τε] ταύτην U 7 ἐξήσοι U μετ' αὐτοὺς F μετ' αὐτῶν CU 15 τιμωρήσεσθαι U 16 τούτοις CFUV 18 τε om. CU 20 μὲν B solus 21 Φερρὰς CDFMV 24 τε om. U 25 ὡρμήθη B ὡρμήσθη F¹



σπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν, αὐτὸς δ' ἐπισκευάσας τὸ τῶν Κυθηρίων τεῖχος φρουρούς τε καὶ Νικόφημον Ἀθηναῖον ἁρμοστὴν ἐν τοῖς Κυθήροις κατέλιπε. ταῦτα δὲ ποιήσας καὶ εἰς Ἰσθμὸν τῆς Κορινθίας καταπλεύσας, καὶ παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς χρήματα ὅσα εἶχεν, ᾤχετο ἐπ' οἴκου ἀποπλέων. λέγοντος δὲ 9
τοῦ Κόνωνος ⟨ὡς⟩ εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικόν, θρέψοι μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα συναναστήσοι τά τε μακρὰ τείχη τοῖς Ἀθηναίοις καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ εἰδέναι ἔφη ὅτι Λακεδαιμονίοις οὐδὲν ἂν βαρύτερον γένοιτο, καὶ τοῦτο οὖν, ἔφη, σὺ τοῖς μὲν Ἀθηναίοις κεχαρισμένος ἔσει, τοὺς δὲ Λακεδαιμονίους τετιμωρημένος· ἐφ' ᾧ γὰρ πλεῖστα ἐπόνησαν, ἀτελὲς αὐτοῖς ποιήσεις. ὁ δὲ Φαρνάβαζος ἀκούσας ταῦτα ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας, καὶ χρήματα προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. ὁ δὲ ἀφικόμενος 10
πολὺ τοῦ τείχους ὤρθωσε, τά τε αὑτοῦ πληρώματα παρέχων καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδούς, καὶ ἄλλο εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. ἦν μέντοι τοῦ τείχους ἃ καὶ αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι πόλεις ἐθελούσιαι συνετείχισαν. οἱ μέντοι Κορίνθιοι ἀφ' ὧν ὁ Φαρνάβαζος κατέλιπε χρημάτων ναῦς πληρώσαντες καὶ Ἀγαθῖνον ναύαρχον ἐπιστήσαντες ἐθαλαττοκράτουν ἐν τῷ περὶ Ἀχαιΐαν καὶ Λέχαιον κόλπῳ. ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναῦς, ὧν Ποδάνεμος ἦρχεν. ἐπεὶ δὲ οὗτος 11

2 Κυθήρων M Νικόφηβον codd., corr. Schn. 3 Κυθηρίοις codd., corr. Ddf. 4 εἰς om. F 6 κατελιπὼν B αὐτοὺς U 8 ὡς add. Castalio 12 οὖν] μὲν F 13 μὲν om. B ἔση(ι) codd. 15 ἀκούσας ταῦτα om. U 18 ἤρθωσε B 22 ἐφ' BP 25 Ἀχαιΐαν B Ἀχαΐαν rell. 26 Πο//////μος CFU

λέως. καίτοι, ἔφη, ποῖον μὲν ⟨ἂν⟩ ἰσχυρότερον Σηστοῦ
λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ
νεῶν καὶ πεζῶν δεῖται, εἰ μέλλει πολιορκηθήσεσθαι. τού-
6 τους αὖ τοιαῦτα λέγων ἔσχε τοῦ ἐκπεπλῆχθαι. ὁ δὲ Φαρ-
νάβαζος ἐπεὶ ηὗρε τήν τε Ἄβυδον καὶ τὸν Σηστὸν οὕτως
ἔχοντα, προηγόρευεν αὐτοῖς ὡς εἰ μὴ ἐκπέμψοιεν τοὺς
Λακεδαιμονίους, πόλεμον ἐξοίσει πρὸς αὐτούς. ἐπεὶ δὲ
οὐκ ἐπείθοντο, Κόνωνι μὲν προσέταξε κωλύειν αὐτοὺς τὴν
θάλατταν πλεῖν, αὐτὸς δὲ ἐδῄου τὴν τῶν Ἀβυδηνῶν χώραν.
ἐπεὶ δὲ οὐδὲν ἐπέραινε πρὸς τὸ καταστρέφεσθαι, αὐτὸς
μὲν ἐπ' οἴκου ἀπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπί-
ζεσθαι τὰς καθ' Ἑλλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ
ὅτι πλεῖστον ναυτικὸν ἀθροισθείη. ὀργιζόμενος γὰρ τοῖς
Λακεδαιμονίοις ἀνθ' ὧν ἐπεπόνθει περὶ παντὸς ἐποιεῖτο
ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν καὶ τιμωρήσασθαι ὅ τι
7 δύναιτο. καὶ τὸν μὲν χειμῶνα ἐν τοιούτοις ὄντες διῆγον·
ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας καὶ ξενικὸν
προσμισθωσάμενος ἔπλευσεν ὁ Φαρνάβαζός τε καὶ ὁ
Κόνων μετ' αὐτοῦ διὰ νήσων εἰς Μῆλον, ἐκεῖθεν δὲ ὁρμώ-
μενοι εἰς τὴν Λακεδαίμονα. καταπλεύσας δὲ πρῶτον μὲν
εἰς Φερὰς ἐδῄωσε ταύτην τὴν χώραν, ἔπειτα καὶ ἄλλοσε
ἀποβαίνων τῆς παραθαλαττίας ἐκακούργει ὅ τι ἐδύνατο.
φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας καὶ τὰ τῆς
βοηθείας καὶ τὴν σπανοσιτίαν, ταχὺ τε ἀνέστρεψε καὶ
8 ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα. ἐπεὶ
δὲ οἱ ἔχοντες τὴν πόλιν τῶν Κυθηρίων φοβηθέντες μὴ
κατὰ κράτος ἁλοῖεν ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑπο-

1 ἂν add. Schae. 3 μέλλει V μέλλοι rell. 4 οὖν D τοῦ μὴ C 5 τήν τε] ταύτην U 7 ἐξήσοι U μετ' αὐτοὺς F μετ' αὐτῶν CU 15 τιμωρήσεσθαι U 16 τούτοις CFUV 18 τε om. CU 20 μὲν B solus 21 Φερρὰς CDFMV 24 τε om. U 25 ὡρμήθη B ὡρμήσθη F[1]



σπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν, αὐτὸς δ' ἐπισκευά-
σας τὸ τῶν Κυθηρίων τεῖχος φρουρούς τε καὶ Νικόφημον
Ἀθηναῖον ἁρμοστὴν ἐν τοῖς Κυθήροις κατέλιπε. ταῦτα δὲ
ποιήσας καὶ εἰς Ἰσθμὸν τῆς Κορινθίας καταπλεύσας, καὶ
παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν
καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς
χρήματα ὅσα εἶχεν, ᾤχετο ἐπ' οἴκου ἀποπλέων. λέγοντος δὲ 9
τοῦ Κόνωνος ⟨ὡς⟩ εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικόν, θρέψοι
μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα
συναναστήσοι τά τε μακρὰ τείχη τοῖς Ἀθηναίοις καὶ τὸ
περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ εἰδέναι ἔφη ὅτι Λακεδαιμο-
νίοις οὐδὲν ἂν βαρύτερον γένοιτο, καὶ τοῦτο οὖν, ἔφη,
σὺ τοῖς μὲν Ἀθηναίοις κεχαρισμένος ἔσει, τοὺς δὲ Λακε-
δαιμονίους τετιμωρημένος· ἐφ' ᾧ γὰρ πλεῖστα ἐπόνησαν,
ἀτελὲς αὐτοῖς ποιήσεις. ὁ δὲ Φαρνάβαζος ἀκούσας ταῦτα
ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας, καὶ χρήματα
προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. ὁ δὲ ἀφικόμενος 10
πολὺ τοῦ τείχους ὤρθωσε, τά τε αὑτοῦ πληρώματα παρ-
έχων καὶ τέκτοσι καὶ λιθολογοις μισθὸν διδούς, καὶ ἄλλο
εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. ἦν μέντοι τοῦ τείχους ἃ καὶ
αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι πόλεις ἐθελούσιαι
συνετείχισαν. οἱ μέντοι Κορίνθιοι ἀφ' ὧν ὁ Φαρνάβαζος
κατέλιπε χρημάτων ναῦς πληρώσαντες καὶ Ἀγαθῖνον
ναύαρχον ἐπιστήσαντες ἐθαλαττοκράτουν ἐν τῷ περὶ
Ἀχαιΐαν καὶ Λέχαιον κόλπῳ. ἀντεπλήρωσαν δὲ καὶ οἱ
Λακεδαιμόνιοι ναῦς, ὧν Ποδάνεμος ἦρχεν. ἐπεὶ δὲ οὗτος 11

2 Κυθήρων M Νικόφηβον codd., corr. Schn. 3 Κυθηρίοις codd., corr. Ddf. 4 εἰς om. F 6 κατελιπὼν B αὐτοὺς U 8 ὡς add. Castalio 12 οὖν] μὲν F 13 μὲν om. B ἔση(ι) codd. 15 ἀκούσας ταῦτα om. U 18 ἤρθωσε B 22 ἐφ' BP 25 Ἀχαιΐαν B Ἀχαΐαν rell. 26 Πο//////μος CFU

λέως. καίτοι, ἔφη, ποῖον μὲν ⟨ἂν⟩ ἰσχυρότερον Σηστοῦ
λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ
νεῶν καὶ πεζῶν δεῖται, εἰ μέλλει πολιορκηθήσεσθαι. τού-
6 τους αὖ τοιαῦτα λέγων ἔσχε τοῦ ἐκπεπλῆχθαι. ὁ δὲ Φαρ-
νάβαζος ἐπεὶ ηὗρε τήν τε Ἄβυδον καὶ τὸν Σηστὸν οὕτως
ἔχοντα, προηγόρευεν αὐτοῖς ὡς εἰ μὴ ἐκπέμψοιεν τοὺς
Λακεδαιμονίους, πόλεμον ἐξοίσει πρὸς αὐτούς. ἐπεὶ δὲ
οὐκ ἐπείθοντο, Κόνωνι μὲν προσέταξε κωλύειν αὐτοὺς τὴν
θάλατταν πλεῖν, αὐτὸς δὲ ἐδῄου τὴν τῶν Ἀβυδηνῶν χώραν.
ἐπεὶ δὲ οὐδὲν ἐπέραινε πρὸς τὸ καταστρέφεσθαι, αὐτὸς
μὲν ἐπ᾽ οἴκου ἀπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπί-
ζεσθαι τὰς καθ᾽ Ἑλλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ
ὅτι πλεῖστον ναυτικὸν ἀθροισθείη. ὀργιζόμενος γὰρ τοῖς
Λακεδαιμονίοις ἀνθ᾽ ὧν ἐπεπόνθει περὶ παντὸς ἐποιεῖτο
ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν καὶ τιμωρήσασθαι ὅ τι
7 δύναιτο. καὶ τὸν μὲν χειμῶνα ἐν τοιούτοις ὄντες διῆγον·
ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας καὶ ξενικὸν
προσμισθωσάμενος ἔπλευσεν ὁ Φαρνάβαζός τε καὶ ὁ
Κόνων μετ᾽ αὐτοῦ διὰ νήσων εἰς Μῆλον, ἐκεῖθεν δὲ ὁρμώ-
μενοι εἰς τὴν Λακεδαίμονα. καταπλεύσας δὲ πρῶτον μὲν
εἰς Φερὰς ἐδῄωσε ταύτην τὴν χώραν, ἔπειτα καὶ ἄλλοσε
ἀποβαίνων τῆς παραθαλαττίας ἐκακούργει ὅ τι ἐδύνατο.
φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας καὶ τὰς τῆς
βοηθείας καὶ τὴν σπανοσιτίαν, ταχύ τε ἀνέστρεψε καὶ
8 ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα. ἐπεὶ
δὲ οἱ ἔχοντες τὴν πόλιν τῶν Κυθηρίων φοβηθέντες μὴ
κατὰ κράτος ἁλοῖεν ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑπο-

1 ἂν add. Schae. 3 μέλλει V μέλλοι rell. 4 οὖν D τοῦ μὴ C 5 τήν τε] ταύτην U 7 ἐξήσοι U μετ᾽ αὐτοὺς F μετ᾽ αὐτῶν CU 15 τιμωρήσεσθαι U 16 τούτοις CFUV 18 τε om. CU 20 μὲν B solus 21 Φερρὰς CDFMV 24 τε om. U 25 ὡρμήθη B ὡρμήσθη F[1]



σπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν, αὐτὸς δ᾽ ἐπισκευά-
σας τὸ τῶν Κυθηρίων τεῖχος φρουρούς τε καὶ Νικόφημον
Ἀθηναῖον ἁρμοστὴν ἐν τοῖς Κυθήροις κατέλιπε. ταῦτα δὲ
ποιήσας καὶ εἰς Ἰσθμὸν τῆς Κορινθίας καταπλεύσας, καὶ
παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν
καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς
χρήματα ὅσα εἶχεν, ᾤχετο ἐπ᾽ οἴκου ἀποπλέων. λέγοντος δὲ 9
τοῦ Κόνωνος ⟨ὡς⟩ εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικόν, θρέψοι
μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ᾽ εἰς τὴν πατρίδα
συναναστήσοι τά τε μακρὰ τείχη τοῖς Ἀθηναίοις καὶ τὸ
περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ εἰδέναι ἔφη ὅτι Λακεδαιμο-
νίοις οὐδὲν ἂν βαρύτερον γένοιτο, καὶ τοῦτο οὖν, ἔφη,
τοῖς μὲν Ἀθηναίοις κεχαρισμένος ἔσει, τοὺς δὲ Λακε-
δαιμονίους τετιμωρημένος· ἐφ᾽ ᾧ γὰρ πλεῖστα ἐπόνησαν,
ἀτελὲς αὐτοῖς ποιήσεις. ὁ δὲ Φαρνάβαζος ἀκούσας ταῦτα
ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας, καὶ χρήματα
προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. ὁ δὲ ἀφικόμενος 10
πολὺ τοῦ τείχους ὤρθωσε, τά τε αὐτοῦ πληρώματα παρ-
έχων καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδούς, καὶ ἄλλο
εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. ἦν μέντοι τοῦ τείχους ἃ καὶ
αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι πόλεις ἐθελούσιαι
συνετείχισαν. οἱ μέντοι Κορίνθιοι ἀφ᾽ ὧν ὁ Φαρνάβαζος
κατέλιπε χρημάτων ναῦς πληρώσαντες καὶ Ἀγαθῖνον
ναύαρχον ἐπιστήσαντες ἐθαλαττοκράτουν ἐν τῷ περὶ
Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ. ἀντεπλήρωσαν δὲ καὶ οἱ
Λακεδαιμόνιοι ναῦς, ὧν Ποδάνεμος ἦρχεν. ἐπεὶ δὲ οὗτος 11

Κυθήρων M Νικόφηβον codd., corr. Schn. 3 Κυθη-
ροις codd., corr. Ddf. 4 εἰς om. F 6 κατελιπὼν B
αὐτοὺς U 8 ὡς add. Castalio 12 οὖν] μὲν F
μὲν om. B ἔση(ι) codd. 16 ἀκούσας ταῦτα om. U
ἤρθωσε B 22 ἐφ᾽ BP 25 Ἀχαιΐαν B Ἀχαΐαν rell.
Πο/////μος CFU